λάβηι cφαγεῖcαν· ὅτι γὰρ ἐνιαυτὸc τέκοι
κάλλιcτον, ηὔξω φωcφόρωι θύcειν θεᾶι.
παῖδ' οὖν ἐν οἴκοιc cὴ Κλυταιμήcτρα δάμαρ
τίκτει — τὸ καλλιcτεῖον εἰc ἔμ' ἀναφέρων —
ἣν χρή cε θῦcαι. καί μ' Ὀδυccέωc τέχναιc
μητρὸc παρείλοντ' ἐπὶ γάμοιc Ἀχιλλέωc.
ἐλθοῦcα δ' Αὐλίδ' ἡ τάλαιν' ὑπὲρ πυρᾶc
μεταρcία ληφθεῖc' ἐκαινόμην ξίφει.
ἀλλ' ἐξέκλεψεν ἔλαφον ἀντιδοῦcά μου
Ἄρτεμιc Ἀχαιοῖc, διὰ δὲ λαμπρὸν αἰθέρα
πέμψαcά μ' ἐc τήνδ' ᾤκιcεν Ταύρων χθόνα,
οὗ γῆc ἀνάccει βαρβάροιcι βάρβαροc
Θόαc, ὃc ὠκὺν πόδα τιθεὶc ἴcον πτεροῖc
ἐc τοὔνομ' ἦλθε τόδε ποδωκείαc χάριν.
ναοῖcι δ' ἐν τοῖcδ' ἱερέαν τίθηcί με·
ὅθεν, νόμοιcιν οἷcιν ἥδεται θεὰ
Ἄρτεμιc, ἑορτῆc (τοὔνομ' ἧc καλὸν μόνον·
τὰ δ' ἄλλα cιγῶ, τὴν θεὸν φοβουμένη)
[θύω γὰρ ὄντοc τοῦ νόμου καὶ πρὶν πόλει
ὃc ἂν κατέλθηι τήνδε γῆν Ἕλλην ἀνήρ]
κατάρχομαι μέν, cφάγια δ' ἄλλοιcιν μέλει
[ἄρρητ' ἔcωθεν τῶνδ' ἀνακτόρων θεᾶc].
ἃ καινὰ δ' ἥκει νὺξ φέρουcα φάcματα
λέξω πρὸc αἰθέρ', εἴ τι δὴ τόδ' ἔcτ' ἄκοc.
ἔδοξ' ἐν ὕπνωι τῆcδ' ἀπαλλαχθεῖcα γῆc
οἰκεῖν ἐν Ἄργει, παρθενῶcι δ' ἐν μέcοιc